## 612 (533 K)

Stobaevs *Eclogae* iv. 29. 6a et 30 (uu. 1–10). *Μενάνδρου·*

ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖϲ ἐμέ,
μῆτερ, ἐφ' ἑκάϲτωι τὸ γένος. οἷϲ ἂν τῆι φύϲει
ἀγαθὸν ὑπάρχει μηδὲν οἰκεῖον προϲόν,
ἐκεῖϲε καταφεύγουϲιν, εἰϲ τὰ μνήματα
καὶ τὸ γένοϲ, ἀριθμοῦϲίν τε τοὺϲ πάππουϲ ὅϲοι.
οὐδένα δ' ἔχοιϲ ἰδεῖν ἂν οὐδ' εἰπεῖν ὅτωι
οὐκ εἰϲὶ πάπποι· πῶϲ γὰρ ἐγένοντ' ἄν ποτε;
εἰ μὴ λέγειν δ' ἔχουϲι τούτουϲ διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰϲὶ δυϲγενέϲτεροι;
ὃϲ ἂν εὖ γεγονὼϲ ἦι τῆι φύϲει πρὸϲ τἀγαθά,
κἂν Αἰθίοψ ἦι, μῆτερ, ἐϲτιν εὐγενήϲ.
Cκύθηϲ τιϲ; "ὄλεθροϲ." ὁ δ' Ἀνάχαρϲιϲ οὐ Cκύθηϲ;

## 614 (537 K)

Stobaevs *Eclogae* iv. 31. 30. *Μενάνδρου·*

ὁ μὲν Ἐπίχαρμοϲ τοὺϲ θεοὺϲ εἶναι λέγει
ἀνέμουϲ ὕδωρ γῆν ἥλιον πῦρ ἀϲτέραϲ,
ἐγὼ δ' ὑπέλαβον χρηϲίμουϲ εἶναι θεοὺϲ
τἀργύριον ἡμῖν καὶ τὸ χρυϲίον ⟨⏑ –⟩
ἱδρυϲάμενοϲ τούτουϲ γὰρ εἰϲ τὴν οἰκίαν,
εὖξαι τί βούλει· πάντα ϲοι γενήϲεται,
ἀγρόϲ, οἰκίαι, θεράποντεϲ, ἀργυρώματα,
φίλοι, δικαϲταί, μάρτυρεϲ. μόνον δίδου·
αὐτοὺϲ γὰρ ἕξειϲ τοὺϲ θεοὺϲ ὑπηρέταϲ.